# ΚΑΤΑ ΜΑΡΚΟΝ

1 Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ.
2–8: Mt 3,1–12. 2 Καθὼς γέγραπται ἐν τῷ Ἠσαΐᾳ τῷ προφήτῃ·
L 3,1–18. J 1,19–30. **ἰδοὺ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσ-**
Ml 3,1. **ώπου σου,**
Mt 11,10. **ὃς κατασκευάσει τὴν ὁδόν σου·**
Is 40,3. 3 **φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ·**
**ἑτοιμάσατε τὴν ὁδὸν κυρίου,**
**εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ,**
4 ἐγένετο Ἰωάννης ὁ βαπτίζων ἐν τῇ ἐρήμῳ [καὶ]
κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρ-
5 τιῶν. καὶ ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία
χώρα καὶ οἱ Ἱεροσολυμεῖται πάντες, καὶ ἐβαπτί-
ζοντο ὑπ' αὐτοῦ ἐν τῷ Ἰορδάνῃ ποταμῷ ἐξομο-
6 λογούμενοι τὰς ἁμαρτίας αὐτῶν. καὶ ἦν ὁ Ἰωάννης
ἐνδεδυμένος τρίχας καμήλου καὶ ζώνην δερματίνην
περὶ τὴν ὀσφὺν αὐτοῦ, καὶ ἔσθων ἀκρίδας καὶ
7 μέλι ἄγριον. καὶ ἐκήρυσσεν λέγων· ἔρχεται ὁ
ἰσχυρότερός μου ὀπίσω μου, οὗ οὐκ εἰμὶ ἱκανὸς
κύψας λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ.
8 ἐγὼ ἐβάπτισα ὑμᾶς ὕδατι, αὐτὸς δὲ βαπτίσει ὑμᾶς
[ἐν] πνεύματι ἁγίῳ.

9–11: Mt 3,13–17. 9 Καὶ ἐγένετο ἐν ἐκείναις ταῖς ἡμέραις ἦλθεν
L 3,21.22. J 1,31–34. Ἰησοῦς ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας καὶ ἐβαπτίσθη
L 2,51.

---

**1**,*1* *χριστου* : **hR**+ *υιου θεου* *1—8* **T** *χριστου, καθως . . . αυτου.* *2* *ιδου* : **T**+ *εγω* *4* [*και*] : **T—H** *7* *μου* **2°** : **[H]** *8* [*εν*] : **T—H** *9* **h**— *και* **1°**

---

**1**,*2* *εν τοις προφηταις* | *σου* **2°** : + *εμπροσθεν σου* *3* *αυτου* : *του θεου υμων* *4* — *ο* | — *και* *5* *παντες* post *εβαπτιζοντο* *6* *τριχας* : *δερριν* *8* *αγιω* : + *και πυρι* *9* *Ναζαρεθ*

*εἰς τὸν Ἰορδάνην ὑπὸ Ἰωάννου. καὶ εὐθὺς ἀνα-* 10
*βαίνων ἐκ τοῦ ὕδατος εἶδεν σχιζομένους τοὺς*
*οὐρανοὺς καὶ τὸ πνεῦμα ὡς περιστερὰν κατα-*
*βαῖνον εἰς αὐτόν· καὶ φωνὴ [ἐγένετο] ἐκ τῶν οὐρανῶν·* 11 9,7.
*σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπητός, ἐν σοὶ εὐδόκησα.*
*Καὶ εὐθὺς τὸ πνεῦμα αὐτὸν ἐκβάλλει εἰς τὴν* 12 **12.13:** Mt 4,1–11.
*ἔρημον. καὶ ἦν ἐν τῇ ἐρήμῳ τεσσεράκοντα ἡμέρας* 13 L 4,1–13.
*πειραζόμενος ὑπὸ τοῦ σατανᾶ, καὶ ἦν μετὰ τῶν*
*θηρίων, καὶ οἱ ἄγγελοι διηκόνουν αὐτῷ.*
*Καὶ μετὰ τὸ παραδοθῆναι τὸν Ἰωάννην ἦλθεν* 14 **14.15:** Mt 4,12–17.
*ὁ Ἰησοῦς εἰς τὴν Γαλιλαίαν κηρύσσων τὸ εὐαγγέλιον* L 4,14.15.
*τοῦ θεοῦ* ¹*[καὶ] λέγων, ὅτι πεπλήρωται ὁ καιρὸς* 15 G 4,4.
*καὶ ἤγγικεν ἡ βασιλεία τοῦ θεοῦ· μετανοεῖτε καὶ*
*πιστεύετε ἐν τῷ εὐαγγελίῳ. Καὶ παράγων παρὰ* 16 **16–20:** Mt 4,18–22.
*τὴν θάλασσαν τῆς Γαλιλαίας εἶδεν Σίμωνα καὶ* L 5,1–11.
*Ἀνδρέαν τὸν ἀδελφὸν Σίμωνος ἀμφιβάλλοντας ἐν*
*τῇ θαλάσσῃ· ἦσαν γὰρ ἁλεεῖς. καὶ εἶπεν αὐτοῖς* 17
*ὁ Ἰησοῦς· δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς*
*γενέσθαι ἁλεεῖς ἀνθρώπων. καὶ εὐθὺς ἀφέντες* 18
*τὰ δίκτυα ἠκολούθησαν αὐτῷ. Καὶ προβὰς ὀλίγον* 19
*εἶδεν Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου καὶ Ἰωάννην*
*τὸν ἀδελφὸν αὐτοῦ, καὶ αὐτοὺς ἐν τῷ πλοίῳ κατ-*
*αρτίζοντας τὰ δίκτυα. καὶ εὐθὺς ἐκάλεσεν αὐτούς·* 20
*καὶ ἀφέντες τὸν πατέρα αὐτῶν Ζεβεδαῖον ἐν τῷ*
*πλοίῳ μετὰ τῶν μισθωτῶν ἀπῆλθον ὀπίσω αὐτοῦ.*
*Καὶ εἰσπορεύονται εἰς Καφαρναούμ· καὶ εὐθὺς* 21 **21–28:** L 4,31–37.
*τοῖς σάββασιν [εἰσελθὼν] εἰς τὴν συναγωγὴν ἐδί-*
*δασκεν. καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ·* 22 Mt 7,28.29.
*ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ*

---

*11* [*εγενετο*] : H—T *14* T *Μετα δε* *15* H [*και λεγων*]: T— *21* [*εισελθων*] : H—hT | hT *εδιδασκεν εις τ. συναγωγην*

---

*10 ηνοιγμενους* | *καταβ.* : + *και μενον* | *εις* : *επ* *11 εν σοι* : *εν ω* *13 ημερ.* : + *και τεσσερακοντα νυκτας* *14 ευαγγ.* : + *της βασιλειας* *15 πεπληρωνται οι καιροι* *16 εν* : pr *αμφιβληστρον vl τα δικτυα* *18 τα δικτ.* : *παντα* *21 Καπερναουμ*

23 οὐχ ὡς οἱ γραμματεῖς. Καὶ εὐθὺς ἦν ἐν τῇ
συναγωγῇ αὐτῶν ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ,
5,7. Ps 16,10. 24 καὶ ἀνέκραξεν ˡ λέγων· τί ἡμῖν καὶ σοί, Ἰησοῦ
Ναζαρηνέ; ἦλθες ἀπολέσαι ἡμᾶς; οἶδά σε τίς εἶ,
25 ὁ ἅγιος τοῦ θεοῦ. καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς·
9,26. 26 φιμώθητι καὶ ἔξελθε ἐξ αὐτοῦ. καὶ σπαράξαν
αὐτὸν τὸ πνεῦμα τὸ ἀκάθαρτον καὶ φωνῆσαν
27 φωνῇ μεγάλῃ ἐξῆλθεν ἐξ αὐτοῦ. καὶ ἐθαμβήθησαν
ἅπαντες, ὥστε συνζητεῖν αὐτοὺς λέγοντας· τί ἐστιν
τοῦτο; διδαχὴ καινή· κατ' ἐξουσίαν καὶ τοῖς πνεύ-
μασι τοῖς ἀκαθάρτοις ἐπιτάσσει, καὶ ὑπακούουσιν
28 αὐτῷ. καὶ ἐξῆλθεν ἡ ἀκοὴ αὐτοῦ εὐθὺς πανταχοῦ εἰς
29–34: Mt 8,14–17. 29 ὅλην τὴν περίχωρον τῆς Γαλιλαίας. Καὶ εὐθὺς ἐκ
L 4,38–41. τῆς συναγωγῆς ἐξελθόντες ἦλθον εἰς τὴν οἰκίαν Σί-
30 μωνος καὶ Ἀνδρέου μετὰ Ἰακώβου καὶ Ἰωάννου. ἡ δὲ
πενθερὰ Σίμωνος κατέκειτο πυρέσσουσα, καὶ εὐθὺς
31 λέγουσιν αὐτῷ περὶ αὐτῆς. καὶ προσελθὼν ἤγειρεν
αὐτὴν κρατήσας τῆς χειρός· καὶ ἀφῆκεν αὐτὴν ὁ
32 πυρετός, καὶ διηκόνει αὐτοῖς. Ὀψίας δὲ γενο-
μένης, ὅτε ἔδυσεν ὁ ἥλιος, ἔφερον πρὸς αὐτὸν
πάντας τοὺς κακῶς ἔχοντας καὶ τοὺς δαιμονι-
33 ζομένους· καὶ ἦν ὅλη ἡ πόλις ἐπισυνηγμένη πρὸς
L 4,41. 34 τὴν θύραν. καὶ ἐθεράπευσεν πολλοὺς κακῶς
Act 16,17.18. ἔχοντας ποικίλαις νόσοις, καὶ δαιμόνια πολλὰ
ἐξέβαλεν, καὶ οὐκ ἤφιεν λαλεῖν τὰ δαιμόνια, ὅτι
35–39: 35 ᾔδεισαν αὐτόν. Καὶ πρωῒ ἔννυχα λίαν ἀναστὰς
L 4,42–44. ἐξῆλθεν καὶ ἀπῆλθεν εἰς ἔρημον τόπον, κἀκεῖ
36 προσηύχετο. καὶ κατεδίωξεν αὐτὸν Σίμων καὶ οἱ
37 μετ' αὐτοῦ, καὶ εὗρον αὐτὸν καὶ λέγουσιν αὐτῷ
38 ὅτι πάντες ζητοῦσίν σε. καὶ λέγει αὐτοῖς· ἄγωμεν

---

*24* T *ημας·* | hT *οιδαμεν* *25* *ο Ιησ.* : [H]R+ *λεγων* *27* *αυτους* : hR *προς εαυτους* | T *καινη κατ εξουσιαν·* *29* h *εξελθων ηλθεν* | H *ηλθαν* *32* T *εδυ* *34* *αυτον* : H+ [*χριστον ειναι*] *35* H [*και απηλθεν*]

---

*22* *οι γραμμ.* : + *αυτων* *24* *λεγων* : + *εα* *31* *εκτεινας την χειρα κρατ. ηγειρ. αυτην*

*ἀλλαχοῦ εἰς τὰς ἐχομένας κωμοπόλεις, ἵνα κἀκεῖ*
*κηρύξω· εἰς τοῦτο γὰρ ἐξῆλθον. καὶ ἦλθεν κηρύσ-* 39
*σων εἰς τὰς συναγωγὰς αὐτῶν εἰς ὅλην τὴν Γαλι-*
*λαίαν καὶ τὰ δαιμόνια ἐκβάλλων.*
*Καὶ ἔρχεται πρὸς αὐτὸν λεπρὸς παρακαλῶν* 40 **40–45: Mt 8,2–4. L 5,12–16.**
*αὐτὸν [καὶ γονυπετῶν] λέγων αὐτῷ ὅτι ἐὰν θέλῃς*
*δύνασαί με καθαρίσαι. καὶ σπλαγχνισθεὶς ἐκτείνας* 41
*τὴν χεῖρα αὐτοῦ ἥψατο καὶ λέγει αὐτῷ· θέλω,*
*καθαρίσθητι. καὶ εὐθὺς ἀπῆλθεν ἀπ' αὐτοῦ ἡ* 42
*λέπρα, καὶ ἐκαθερίσθη. καὶ ἐμβριμησάμενος αὐτῷ* 43 **8,12; 7,36.**
*εὐθὺς ἐξέβαλεν αὐτόν, καὶ λέγει αὐτῷ· ὅρα μηδενὶ* 44 **Lv 13,49; 14,2–32.**
*μηδὲν εἴπῃς, ἀλλὰ ὕπαγε σεαυτὸν δεῖξον τῷ ἱερεῖ*
*καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου ἃ προσ-*
*έταξεν Μωϋσῆς εἰς μαρτύριον αὐτοῖς. ὁ δὲ* 45
*ἐξελθὼν ἤρξατο κηρύσσειν πολλὰ καὶ διαφημίζειν*
*τὸν λόγον, ὥστε μηκέτι αὐτὸν δύνασθαι φανερῶς*
*εἰς πόλιν εἰσελθεῖν, ἀλλὰ ἔξω ἐπ' ἐρήμοις τόποις*
*ἦν· καὶ ἤρχοντο πρὸς αὐτὸν πάντοθεν.*
*Καὶ εἰσελθὼν πάλιν εἰς Καφαρναοὺμ δι' ἡμε-* 2 **1–12: Mt 9,1–8. L 5,17–26.**
*ρῶν ἠκούσθη ὅτι ἐν οἴκῳ ἐστίν. καὶ συνήχθησαν* 2
*πολλοί, ὥστε μηκέτι χωρεῖν μηδὲ τὰ πρὸς τὴν*
*θύραν, καὶ ἐλάλει αὐτοῖς τὸν λόγον. καὶ ἔρχονται* 3
*φέροντες πρὸς αὐτὸν παραλυτικὸν αἰρόμενον ὑπὸ*
*τεσσάρων. καὶ μὴ δυνάμενοι προσενέγκαι αὐτῷ* 4
*διὰ τὸν ὄχλον ἀπεστέγασαν τὴν στέγην ὅπου ἦν,*
*καὶ ἐξορύξαντες χαλῶσι τὸν κράβαττον ὅπου ὁ*
*παραλυτικὸς κατέκειτο. καὶ ἰδὼν ὁ Ἰησοῦς τὴν* 5
*πίστιν αὐτῶν λέγει τῷ παραλυτικῷ· τέκνον, ἀφίενταί*
*σου αἱ ἁμαρτίαι. ἦσαν δέ τινες τῶν γραμματέων* 6
*ἐκεῖ καθήμενοι καὶ διαλογιζόμενοι ἐν ταῖς καρδίαις*

---

*38* H *και εκει* *40* [*και γονυπετ.*] : T : R+ [*και*] *41* *σπλαγχνισθ.* : h[r] ⊣ *οργισθεις* ⊢ | T— *αυτω* *45* hT *εις πολ. φανερ. εισελθ.* | T *αλλ* | H [*ην*] **2**,*1* h *εις οικον*

---

*38* — *αλλαχου* *42* *και* 1° : + *ειποντος αυτου* **2**,*1* *και* 1° : + *ευθεως* *4* *προσεγγισαι* | —*εξορυξαντες* *5* *τεκνον* : pr *θαρσει*, + *μου*

Is 43,25. 7 *αὐτῶν· ˡτί οὗτος οὕτως λαλεῖ; βλασφημεῖ· τίς*
8 *δύναται ἀφιέναι ἁμαρτίας εἰ μὴ εἷς ὁ θεός; καὶ*
*εὐθὺς ἐπιγνοὺς ὁ Ἰησοῦς τῷ πνεύματι αὐτοῦ ὅτι*
*οὕτως διαλογίζονται ἐν ἑαυτοῖς, λέγει αὐτοῖς· τί*
9 *ταῦτα διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; τί*
*ἐστιν εὐκοπώτερον, εἰπεῖν τῷ παραλυτικῷ· ἀφίενταί*
*σου αἱ ἁμαρτίαι, ἢ εἰπεῖν· ἔγειρε καὶ ἆρον τὸν*
10 *κράβαττόν σου καὶ περιπάτει; ἵνα δὲ εἰδῆτε ὅτι*
*ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς*
11 *ἀφιέναι ἁμαρτίας, — λέγει τῷ παραλυτικῷ· ˡσοὶ*
*λέγω, ἔγειρε ἆρον τὸν κράβαττόν σου καὶ ὕπαγε*
12 *εἰς τὸν οἶκόν σου. καὶ ἠγέρθη καὶ εὐθὺς ἄρας*
*τὸν κράβαττον ἐξῆλθεν ἔμπροσθεν πάντων, ὥστε*
*ἐξίστασθαι πάντας καὶ δοξάζειν τὸν θεὸν λέγοντας*
*ὅτι οὕτως οὐδέποτε εἴδαμεν.*

13–17: 13 *Καὶ ἐξῆλθεν πάλιν παρὰ τὴν θάλασσαν· καὶ*
Mt 9,9–13.
L 5,27–32. *πᾶς ὁ ὄχλος ἤρχετο πρὸς αὐτόν, καὶ ἐδίδασκεν*
14 *αὐτούς. Καὶ παράγων εἶδεν Λευεὶν τὸν τοῦ*
*Ἀλφαίου καθήμενον ἐπὶ τὸ τελώνιον, καὶ λέγει*
*αὐτῷ· ἀκολούθει μοι. καὶ ἀναστὰς ἠκολούθησεν*
15 *αὐτῷ. Καὶ γίνεται κατακεῖσθαι αὐτὸν ἐν τῇ*
*οἰκίᾳ αὐτοῦ, καὶ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ*
*συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ·*
16 *ἦσαν γὰρ πολλοί, καὶ ἠκολούθουν αὐτῷ. καὶ οἱ*
*γραμματεῖς τῶν Φαρισαίων ἰδόντες ὅτι ἤσθιεν*
*μετὰ τῶν ἁμαρτωλῶν καὶ τελωνῶν, ἔλεγον τοῖς*
*μαθηταῖς αὐτοῦ· ὅτι μετὰ τῶν τελωνῶν καὶ ἁμαρ-*
17 *τωλῶν ἐσθίει [καὶ πίνει]; καὶ ἀκούσας ὁ Ἰησοῦς*
*λέγει αὐτοῖς· οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ*

---

*7 τι* : h *οτι* *8* H [*ουτως*] | H [*αυτοις*] *9* H *εγειρου* [*και*] | *περιπ.* : T *υπαγε* *10* *H* *αφιεναι αμαρτ. επι τ. γης* *12* H [*λεγοντας*] *13 παρα* : T *εις* *14 Λευειν* : h[r] ⊣ *Ιακωβον* ⊢ *15.16* T *ηκολ. αυτω και* *16* T— *οι* | *ιδοντες* : T pr *και* | *ησθιεν* : H *εσθιει* | *αμαρτ. κ. τελων.* : T *τελων. κ. αμαρτ.* | [*και πινει*] : hT—H *17 αυτοις* : H+ [*οτι*]

---

*9 υπαγε et* + *εις τον οικον σου*

*ἀλλ' οἱ κακῶς ἔχοντες· οὐκ ἦλθον καλέσαι δικαίους*
*ἀλλὰ ἁμαρτωλούς. Καὶ ἦσαν οἱ μαθηταὶ Ἰωάννου* 18 **18–22:** Mt 9,14–17.
*καὶ οἱ Φαρισαῖοι νηστεύοντες. καὶ ἔρχονται καὶ* L 5,33–38.
*λέγουσιν αὐτῷ· διὰ τί οἱ μαθηταὶ Ἰωάννου καὶ*
*οἱ μαθηταὶ τῶν Φαρισαίων νηστεύουσιν, οἱ δὲ σοὶ*
*μαθηταὶ οὐ νηστεύουσιν; καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς·* 19
*μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος ἐν ᾧ ὁ νυμφίος*
*μετ' αὐτῶν ἐστιν νηστεύειν; ὅσον χρόνον ἔχουσιν*
*τὸν νυμφίον μετ' αὐτῶν, οὐ δύνανται νηστεύειν.*
*ἐλεύσονται δὲ ἡμέραι ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ* 20
*νυμφίος, καὶ τότε νηστεύσουσιν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ.*
*Οὐδεὶς ἐπίβλημα ῥάκους ἀγνάφου ἐπιράπτει ἐπὶ* 21
*ἱμάτιον παλαιόν· εἰ δὲ μή, αἴρει τὸ πλήρωμα*
*ἀπ' αὐτοῦ τὸ καινὸν τοῦ παλαιοῦ, καὶ χεῖρον*
*σχίσμα γίνεται. καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς* 22
*ἀσκοὺς παλαιούς· εἰ δὲ μή, ῥήξει ὁ οἶνος τοὺς*
*ἀσκούς, καὶ ὁ οἶνος ἀπόλλυται καὶ οἱ ἀσκοί. [ἀλλὰ*
*οἶνον νέον εἰς ἀσκοὺς καινούς.]*

*Καὶ ἐγένετο αὐτὸν ἐν τοῖς σάββασιν παρα-* 23 **23–28:** Mt 12,1–8.
*πορεύεσθαι διὰ τῶν σπορίμων, καὶ οἱ μαθηταὶ* L 6,1–5.
*αὐτοῦ ἤρξαντο ὁδὸν ποιεῖν τίλλοντες τοὺς στάχυας.*
*καὶ οἱ Φαρισαῖοι ἔλεγον αὐτῷ· ἴδε τί ποιοῦσιν* 24
*τοῖς σάββασιν ὃ οὐκ ἔξεστιν; καὶ λέγει αὐτοῖς·* 25
*οὐδέποτε ἀνέγνωτε τί ἐποίησεν Δαυείδ, ὅτε χρείαν*
*ἔσχεν καὶ ἐπείνασεν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ;*
*πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ ἐπὶ Ἀβιάθαρ* 26 1 Sm 21,7.
*ἀρχιερέως καὶ* **τοὺς ἄρτους τῆς προθέσεως** *ἔφαγεν,* Lv 24,9.
*οὓς οὐκ ἔξεστιν φαγεῖν εἰ μὴ τοὺς ἱερεῖς, καὶ*
*ἔδωκεν καὶ τοῖς σὺν αὐτῷ οὖσιν; καὶ ἔλεγεν αὐτοῖς·* 27 Dt 5,14.
*τὸ σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο, καὶ οὐχ*

---

*18* H *οι δε σοι [μαθηται]* *22* T— *[αλλα . . . καινους.]*
*23* **Ꝁ** *διαπορευεσθαι* | **h** *οδοποιειν* *26* H *[πως]*

---

*17* **fin** + *εις μετανοιαν* *18 φαρισαιοι : των φαρισαιων*
*19* — *οσον . . . νηστευειν* *20 εν εκειναις ταις ημεραις*
*21 επισυνραπτει* *22 εκχειται κ. οι ασκ. απολουνται*
*27 εγεν. : εκτισθη*

28 ὁ ἄνθρωπος διὰ τὸ σάββατον· ὥστε κύριός ἐστιν
1–6: Mt 12,9–14. 3 ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου. Καὶ
L 6,6–11. εἰσῆλθεν πάλιν εἰς συναγωγήν, καὶ ἦν ἐκεῖ ἄνθρω-
2 πος ἐξηραμμένην ἔχων τὴν χεῖρα· καὶ παρετήρουν
αὐτὸν εἰ τοῖς σάββασιν θεραπεύσει αὐτόν, ἵνα
3 κατηγορήσωσιν αὐτοῦ. καὶ λέγει τῷ ἀνθρώπῳ τῷ
4 τὴν χεῖρα ἔχοντι ξηράν· ἔγειρε εἰς τὸ μέσον. καὶ
λέγει αὐτοῖς· ἔξεστιν τοῖς σάββασιν ἀγαθοποιῆσαι
ἢ κακοποιῆσαι, ψυχὴν σῶσαι ἢ ἀποκτεῖναι; οἱ
J 11,33. 5 δὲ ἐσιώπων. καὶ περιβλεψάμενος αὐτοὺς μετ᾽
ὀργῆς, συνλυπούμενος ἐπὶ τῇ πωρώσει τῆς καρδίας
αὐτῶν, λέγει τῷ ἀνθρώπῳ· ἔκτεινον τὴν χεῖρα.
καὶ ἐξέτεινεν, καὶ ἀπεκατεστάθη ἡ χεὶρ αὐτοῦ.
Mt 22,16. 6 καὶ ἐξελθόντες οἱ Φαρισαῖοι εὐθὺς μετὰ τῶν
Ἡρῳδιανῶν συμβούλιον ἐποίησαν κατ᾽ αὐτοῦ, ὅπως
αὐτὸν ἀπολέσωσιν.
7–12: Mt 12,15.16. 7 Καὶ ὁ Ἰησοῦς μετὰ τῶν μαθητῶν αὐτοῦ ἀνε-
L 6, 17–19. χώρησεν πρὸς τὴν θάλασσαν· καὶ πολὺ πλῆθος
ἀπὸ τῆς Γαλιλαίας ἠκολούθησεν· καὶ ἀπὸ τῆς
Mt 4,25. 8 Ἰουδαίας ¹ καὶ ἀπὸ Ἱεροσολύμων καὶ ἀπὸ τῆς
Ἰδουμαίας καὶ πέραν τοῦ Ἰορδάνου καὶ περὶ Τύρον
καὶ Σιδῶνα, πλῆθος πολύ, ἀκούοντες ὅσα ἐποίει,
9 ἦλθον πρὸς αὐτόν. καὶ εἶπεν τοῖς μαθηταῖς
αὐτοῦ ἵνα πλοιάριον προσκαρτερῇ αὐτῷ διὰ
10 τὸν ὄχλον, ἵνα μὴ θλίβωσιν αὐτόν· πολλοὺς
γὰρ ἐθεράπευσεν, ὥστε ἐπιπίπτειν αὐτῷ ἵνα αὐτοῦ
L 4,41. 11 ἅψωνται ὅσοι εἶχον μάστιγας. καὶ τὰ πνεύματα
τὰ ἀκάθαρτα, ὅταν αὐτὸν ἐθεώρουν, προσέπιπτον
αὐτῷ καὶ ἔκραζον λέγοντα ὅτι σὺ εἶ ὁ υἱὸς τοῦ
1,34. 12 θεοῦ. καὶ πολλὰ ἐπετίμα αὐτοῖς ἵνα μὴ αὐτὸν

---

**3**,*2* ει : **T**+ εν | **T** θεραπευει *3* **T** τ. ξηραν χ. εχοντι *4* **T** αγαθον ποιησαι *5* χειρα : ℌ+ σου *6* εποιησαν : ℌ εδιδουν **R** εποιουν *7* προς : **T** εις | **T** κ. απο τ. Ιουδ. ηκολουθησαν, **h** κ. α. τ. Ι. η-σεν *8* ℌ ποιει | **H** ηλθαν *11* **hT** λεγοντες

---

**3**,*1* ξηραν *2* παρετηρουντο *5* νεκρωσει | **fin** + υγιης ως η αλλη *7* πολυς οχλος *8* οι περαν | οι περι

*φανερὸν ποιήσωσιν. Καὶ ἀναβαίνει εἰς τὸ ὄρος,* 13 13–19: Mt 10,1–4.
*καὶ προσκαλεῖται οὓς ἤθελεν αὐτός, καὶ ἀπῆλθον* L 6,12–16.
*πρὸς αὐτόν. καὶ ἐποίησεν δώδεκα ἵνα ὦσιν μετ'* 14
*αὐτοῦ, καὶ ἵνα ἀποστέλλῃ αὐτοὺς κηρύσσειν ¹ καὶ* 15
*ἔχειν ἐξουσίαν ἐκβάλλειν τὰ δαιμόνια· καὶ ἐποίησεν* 16
*τοὺς δώδεκα, καὶ ἐπέθηκεν ὄνομα τῷ Σίμωνι*
*Πέτρον· καὶ Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου καὶ* 17 L 9,54.
*Ἰωάννην τὸν ἀδελφὸν τοῦ Ἰακώβου, καὶ ἐπέθηκεν*
*αὐτοῖς ὀνόματα Βοανηργές, ὅ ἐστιν υἱοὶ βροντῆς·*
*καὶ Ἀνδρέαν καὶ Φίλιππον καὶ Βαρθολομαῖον καὶ* 18
*Μαθθαῖον καὶ Θωμᾶν καὶ Ἰάκωβον τὸν τοῦ Ἀλφαίου*
*καὶ Θαδδαῖον καὶ Σίμωνα τὸν Καναναῖον ¹ καὶ* 19
*Ἰούδαν Ἰσκαριώθ, ὃς καὶ παρέδωκεν αὐτόν.*
*Καὶ ἔρχεται εἰς οἶκον· καὶ συνέρχεται πάλιν* 20
*[ὁ] ὄχλος, ὥστε μὴ δύνασθαι αὐτοὺς μηδὲ ἄρτον*
*φαγεῖν. καὶ ἀκούσαντες οἱ παρ' αὐτοῦ ἐξῆλθον* 21
*κρατῆσαι αὐτόν· ἔλεγον γὰρ ὅτι ἐξέστη. καὶ οἱ* 22 22–30: Mt 12,24–32.
*γραμματεῖς οἱ ἀπὸ Ἱεροσολύμων καταβάντες ἔλεγον* L 11,15–22; 12,10.
*ὅτι Βεελζεβοὺλ ἔχει, καὶ ὅτι ἐν τῷ ἄρχοντι τῶν*
*δαιμονίων ἐκβάλλει τὰ δαιμόνια. καὶ προσκαλε-* 23
*σάμενος αὐτοὺς ἐν παραβολαῖς ἔλεγεν αὐτοῖς·*
*πῶς δύναται σατανᾶς σατανᾶν ἐκβάλλειν; καὶ ἐὰν* 24
*βασιλεία ἐφ' ἑαυτὴν μερισθῇ, οὐ δύναται σταθῆναι*
*ἡ βασιλεία ἐκείνη· καὶ ἐὰν οἰκία ἐφ' ἑαυτὴν μερισθῇ,* 25
*οὐ δυνήσεται ἡ οἰκία ἐκείνη στῆναι. καὶ εἰ ὁ* 26
*σατανᾶς ἀνέστη ἐφ' ἑαυτὸν καὶ ἐμερίσθη, οὐ*
*δύναται στῆναι ἀλλὰ τέλος ἔχει. ἀλλ' οὐ δύναται* 27
*οὐδεὶς εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ εἰσελθὼν τὰ*

---

*12* T *ποιωσιν* *14 δωδεκα* : H+ *ους και αποστολους ωνομασεν* *16* R— *και εποι. τ. δωδεκα* | H *(και επεθ. . . . Σιμ.)* *17* H *(και επεθ. . . . Βροντης)* | Ж *ονομα* *18 Θαδδαιον* : h^r ⊣ *Λεββαιον* ⊢ *20* [ο] : R—T | *μηδε* : T *μητε* *22* H *Βεεζεβουλ* *25* T *σταθηναι* *26* T *εαυτον, εμερισθη, και ου*

---

*14 κηρυσσ.* : + *το ευαγγελιον* *15 εξουσιαν* : + *θεραπευειν τας νοσους και* *18 Ματθαιον et* + *τον τελωνην* | *Κανανιτην* *19 Σκαριωθ et Ισκαριωτην*

*σκεύη αὐτοῦ διαρπάσαι, ἐὰν μὴ πρῶτον τὸν ἰσχυρὸν*
28 *δήσῃ, καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσει. Ἀμὴν*
*λέγω ὑμῖν ὅτι πάντα ἀφεθήσεται τοῖς υἱοῖς τῶν*
*ἀνθρώπων τὰ ἁμαρτήματα καὶ αἱ βλασφημίαι,*
29 *ὅσα ἐὰν βλασφημήσωσιν· ὃς δ' ἂν βλασφημήσῃ*
*εἰς τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἔχει ἄφεσιν εἰς τὸν*
22. 30 *αἰῶνα, ἀλλὰ ἔνοχός ἐστιν αἰωνίου ἁμαρτήματος. ὅτι*
31–35: Mt 12,46–50. L 8,19–21. 31 *ἔλεγον· πνεῦμα ἀκάθαρτον ἔχει. Καὶ ἔρχονται*
*ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ ἔξω*
*στήκοντες ἀπέστειλαν πρὸς αὐτὸν καλοῦντες αὐτόν.*
32 *καὶ ἐκάθητο περὶ αὐτὸν ὄχλος, καὶ λέγουσιν αὐτῷ·*
*ἰδοὺ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου [καὶ αἱ*
33 *ἀδελφαί σου] ἔξω ζητοῦσίν σε. καὶ ἀποκριθεὶς*
*αὐτοῖς λέγει· τίς ἐστιν ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί*
34 *[μου]; καὶ περιβλεψάμενος τοὺς περὶ αὐτὸν κύκλῳ*
*καθημένους λέγει· ἴδε ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί*
35 *μου. ὃς ἂν ποιήσῃ τὸ θέλημα τοῦ θεοῦ, οὗτος*
*ἀδελφός μου καὶ ἀδελφὴ καὶ μήτηρ ἐστίν.*
1–20: Mt 13,1–23. L 8,4–15. 4 *Καὶ πάλιν ἤρξατο διδάσκειν παρὰ τὴν θά-*
*λασσαν. καὶ συνάγεται πρὸς αὐτὸν ὄχλος πλεῖστος,*
*ὥστε αὐτὸν εἰς πλοῖον ἐμβάντα καθῆσθαι ἐν τῇ*
*θαλάσσῃ, καὶ πᾶς ὁ ὄχλος πρὸς τὴν θάλασσαν*
2 *ἐπὶ τῆς γῆς ἦσαν. καὶ ἐδίδασκεν αὐτοὺς ἐν παρα-*
*βολαῖς πολλά, καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ*
3 *αὐτοῦ· ἀκούετε. ἰδοὺ ἐξῆλθεν ὁ σπείρων σπεῖραι.*
4 *καὶ ἐγένετο ἐν τῷ σπείρειν ὃ μὲν ἔπεσεν παρὰ*
*τὴν ὁδόν, καὶ ἦλθεν τὰ πετεινὰ καὶ κατέφαγεν*
5 *αὐτό. καὶ ἄλλο ἔπεσεν ἐπὶ τὸ πετρῶδες ὅπου*
*οὐκ εἶχεν γῆν πολλήν, καὶ εὐθὺς ἐξανέτειλεν διὰ*

---

*28* H *ανθρωπων,* | T *αν* *29* T *εσται* | *αμαρτημ.*: **h**[r] *κρισεως it αμαρτιας* *31* T *ερχεται* *32* [*και αι αδελφ. σου*] : ⊣ **h**[r] ⊢ —H *33* [*μου*] : T—H *35* *ος* : **h**[R]+ *γαρ* | **h** *τα θεληματα* 4,*5* *οπου* : H pr [*και*]

---

*28 οσας* *31 καλουντ.* : *φωνουντες vl ζητουντες* 4,*1 ο λαος πολυς* *3* fin + *τον σπορον αυτου* *4 πετεινα* : + *του ουρανου*

*τὸ μὴ ἔχειν βάθος γῆς· καὶ ὅτε ἀνέτειλεν ὁ ἥλιος* 6
*ἐκαυματίσθη, καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν ἐξηράνθη.*
*καὶ ἄλλο ἔπεσεν εἰς τὰς ἀκάνθας, καὶ ἀνέβησαν* 7
*αἱ ἄκανθαι καὶ συνέπνιξαν αὐτό, καὶ καρπὸν οὐκ*
*ἔδωκεν. καὶ ἄλλα ἔπεσεν εἰς τὴν γῆν τὴν καλήν,* 8
*καὶ ἐδίδου καρπὸν ἀναβαίνοντα καὶ αὐξανόμενον,*
*καὶ ἔφερεν εἰς τριάκοντα καὶ εἰς ἑξήκοντα καὶ εἰς*
*ἑκατόν. καὶ ἔλεγεν· ὃς ἔχει ὦτα ἀκούειν ἀκουέτω.* 9
*Καὶ ὅτε ἐγένετο κατὰ μόνας, ἠρώτων αὐτὸν οἱ* 10
*περὶ αὐτὸν σὺν τοῖς δώδεκα τὰς παραβολάς. καὶ* 11 1 K 5,12.
*ἔλεγεν αὐτοῖς· ὑμῖν τὸ μυστήριον δέδοται τῆς*
*βασιλείας τοῦ θεοῦ· ἐκείνοις δὲ τοῖς ἔξω ἐν παρα-*
*βολαῖς τὰ πάντα γίνεται, ἵνα* 12 Is 6,9.10.

**βλέποντες βλέπωσιν καὶ μὴ ἴδωσιν,**
**καὶ ἀκούοντες ἀκούωσιν καὶ μὴ συνιῶσιν,**
**μή ποτε ἐπιστρέψωσιν καὶ ἀφεθῇ αὐτοῖς.**

*καὶ λέγει αὐτοῖς· οὐκ οἴδατε τὴν παραβολὴν* 13
*ταύτην, καὶ πῶς πάσας τὰς παραβολὰς γνώσεσθε; ὁ* 14
*σπείρων τὸν λόγον σπείρει. οὗτοι δέ εἰσιν οἱ* 15
*παρὰ τὴν ὁδὸν ὅπου σπείρεται ὁ λόγος, καὶ*
*ὅταν ἀκούσωσιν, εὐθὺς ἔρχεται ὁ σατανᾶς καὶ*
*αἴρει τὸν λόγον τὸν ἐσπαρμένον εἰς αὐτούς. καὶ* 16
*οὗτοί εἰσιν ὁμοίως οἱ ἐπὶ τὰ πετρώδη σπειρόμενοι,*
*οἳ ὅταν ἀκούσωσιν τὸν λόγον εὐθὺς μετὰ χαρᾶς*
*λαμβάνουσιν αὐτόν, καὶ οὐκ ἔχουσιν ῥίζαν ἐν* 17
*ἑαυτοῖς ἀλλὰ πρόσκαιροί εἰσιν, εἶτα γενομένης*
*θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον εὐθὺς σκανδαλί-*
*ζονται. καὶ ἄλλοι εἰσὶν οἱ εἰς τὰς ἀκάνθας* 18
*σπειρόμενοι· οὗτοί εἰσιν οἱ τὸν λόγον ἀκούσαντες,*
*καὶ αἱ μέριμναι τοῦ αἰῶνος καὶ ἡ ἀπάτη τοῦ* 19 10,23.24.

---

*6* **h** *εκαυματισθησαν* *8* **H** *αυξανομενα* | *εις* 2° 3° : *H ἐν* **h** *εἰς vl ἓν* *9 ακουετω* : **h**[r] + ⊣ *και ο συνιων συνιετω* ⊢ *10* **T** *ηρωτουν* *11* **h** *εξωθεν* | **T**— *τα* *12* **H** *συνιωσιν* *15 εις αυτους* : **T** *εν αυτοις* *16* **T** *ομοιως εισιν* *18 εις* : **T** *επι*

---

*10 περι . . . δωδεκα : μαθηται αυτου* | *τις η παραβολη αυτη* *19 και απαται του κοσμου*

πλούτου καὶ αἱ περὶ τὰ λοιπὰ ἐπιθυμίαι εἰσπο-
ρευόμεναι συνπνίγουσιν τὸν λόγον, καὶ ἄκαρπος
20 γίνεται. καὶ ἐκεῖνοί εἰσιν οἱ ἐπὶ τὴν γῆν τὴν
καλὴν σπαρέντες, οἵτινες ἀκούουσιν τὸν λόγον καὶ
21–25: παραδέχονται, καὶ καρποφοροῦσιν ἐν τριάκοντα
L 8,16–18. 21 καὶ ἐν ἑξήκοντα καὶ ἐν ἑκατόν. Καὶ ἔλεγεν
αὐτοῖς ὅτι μήτι ἔρχεται ὁ λύχνος ἵνα ὑπὸ τὸν
Mt 5,15. μόδιον τεθῇ ἢ ὑπὸ τὴν κλίνην, οὐχ ἵνα ἐπὶ τὴν
Mt 10,26. 22 λυχνίαν τεθῇ; οὐ γάρ ἐστίν [τι] κρυπτόν, ἐὰν μὴ
L 12,2. ἵνα φανερωθῇ· οὐδὲ ἐγένετο ἀπόκρυφον, ἀλλ᾽ ἵνα
23 ἔλθῃ εἰς φανερόν. εἴ τις ἔχει ὦτα ἀκούειν, ἀκου-
Mt 7,2. 24 έτω. Καὶ ἔλεγεν αὐτοῖς· βλέπετε τί ἀκούετε.
ἐν ᾧ μέτρῳ μετρεῖτε μετρηθήσεται ὑμῖν, καὶ προστε-
Mt 13,12. 25 θήσεται ὑμῖν. ὃς γὰρ ἔχει, δοθήσεται αὐτῷ· καὶ
ὃς οὐκ ἔχει, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ᾽ αὐτοῦ.
26 Καὶ ἔλεγεν· οὕτως ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ, ὡς
Jc 5,7. 27 ἄνθρωπος βάλῃ τὸν σπόρον ἐπὶ τῆς γῆς, καὶ
καθεύδῃ καὶ ἐγείρηται νύκτα καὶ ἡμέραν, καὶ ὁ
σπόρος βλαστᾷ καὶ μηκύνηται ὡς οὐκ οἶδεν αὐτός.
28 αὐτομάτη ἡ γῆ καρποφορεῖ, πρῶτον χόρτον, εἶτεν
Joel 4,13. 29 στάχυν, εἶτεν πλήρης σῖτος ἐν τῷ στάχυϊ. ὅταν
δὲ παραδοῖ ὁ καρπός, εὐθὺς **ἀποστέλλει τὸ δρέ-**
30–34: 
Mt 13,31.32.34. 30 **πανον, ὅτι παρέστηκεν ὁ θερισμός.** Καὶ ἔλεγεν·
L 13,18.19. πῶς ὁμοιώσωμεν τὴν βασιλείαν τοῦ θεοῦ, ἢ ἐν
31 τίνι αὐτὴν παραβολῇ θῶμεν; ὡς κόκκῳ σινάπεως,
ὃς ὅταν σπαρῇ ἐπὶ τῆς γῆς, μικρότερον ὂν πάντων
Dn 4,9.18. 32 τῶν σπερμάτων τῶν ἐπὶ τῆς γῆς, καὶ ὅταν σπαρῇ,
Ez 17,23; 31,6. ἀναβαίνει καὶ γίνεται μεῖζον πάντων τῶν λαχάνων,
καὶ ποιεῖ κλάδους μεγάλους, ὥστε δύνασθαι **ὑπὸ**
**τὴν σκιὰν αὐτοῦ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατα-**

---

*20* ἐν $1^o$ : h ἒν | ἐν $2^o$ $3^o$ : ℋ [ἐν] h [ἒν] *21* ℋ † επι †, h MSS υπο | T κλινην; *22* [τι] : T—ℋ (HT ἔστιν) *28* H πληρη σιτον, $h^r$ πληρης [ο] σιτος vl πληρης σιτον *32* H κατασκηνοιν

---

*21* ερχετ. : απτεται *24* fin + τοις ακουουσιν

**σκηνοῦν.** Καὶ τοιαύταις παραβολαῖς πολλαῖς 33
ἐλάλει αὐτοῖς τὸν λόγον, καθὼς ἠδύναντο ἀκούειν·
χωρὶς δὲ παραβολῆς οὐκ ἐλάλει αὐτοῖς, κατ' ἰδίαν 34
δὲ τοῖς ἰδίοις μαθηταῖς ἐπέλυεν πάντα.

Καὶ λέγει αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὀψίας 35 **35–41: Mt 8,18.23–27. L 8,22–25.**
γενομένης· διέλθωμεν εἰς τὸ πέραν. καὶ ἀφέντες 36
τὸν ὄχλον παραλαμβάνουσιν αὐτὸν ὡς ἦν ἐν τῷ
πλοίῳ, καὶ ἄλλα πλοῖα ἦν μετ' αὐτοῦ. καὶ γίνεται 37
λαῖλαψ μεγάλη ἀνέμου, καὶ τὰ κύματα ἐπέβαλλεν
εἰς τὸ πλοῖον, ὥστε ἤδη γεμίζεσθαι τὸ πλοῖον.
καὶ αὐτὸς ἦν ἐν τῇ πρύμνῃ ἐπὶ τὸ προσκεφάλαιον 38
καθεύδων· καὶ ἐγείρουσιν αὐτὸν καὶ λέγουσιν αὐτῷ·
διδάσκαλε, οὐ μέλει σοι ὅτι ἀπολλύμεθα; καὶ 39
διεγερθεὶς ἐπετίμησεν τῷ ἀνέμῳ καὶ εἶπεν τῇ
θαλάσσῃ· σιώπα, πεφίμωσο. καὶ ἐκόπασεν ὁ ἄνε-
μος, καὶ ἐγένετο γαλήνη μεγάλη. καὶ εἶπεν αὐτοῖς· 40
τί δειλοί ἐστε; οὔπω ἔχετε πίστιν; καὶ ἐφοβήθησαν 41
φόβον μέγαν, καὶ ἔλεγον πρὸς ἀλλήλους· τίς ἄρα
οὗτός ἐστιν, ὅτι καὶ ὁ ἄνεμος καὶ ἡ θάλασσα
ὑπακούει αὐτῷ; Καὶ ἦλθον εἰς τὸ πέραν τῆς 5 **1–21: Mt 8,28–34. L 8,26–40.**
θαλάσσης εἰς τὴν χώραν τῶν Γερασηνῶν. καὶ 2
ἐξελθόντος αὐτοῦ ἐκ τοῦ πλοίου, εὐθὺς ὑπήντησεν
αὐτῷ ἐκ τῶν μνημείων ἄνθρωπος ἐν πνεύματι
ἀκαθάρτῳ, ὃς τὴν κατοίκησιν εἶχεν ἐν τοῖς μνή- 3
μασιν, καὶ οὐδὲ ἁλύσει οὐκέτι οὐδεὶς ἐδύνατο
αὐτὸν δῆσαι, διὰ τὸ αὐτὸν πολλάκις πέδαις καὶ 4
ἁλύσεσιν δεδέσθαι, καὶ διεσπάσθαι ὑπ' αὐτοῦ τὰς
ἁλύσεις καὶ τὰς πέδας συντετρῖφθαι, καὶ οὐδεὶς
ἴσχυεν αὐτὸν δαμάσαι· καὶ διὰ παντὸς νυκτὸς καὶ 5
ἡμέρας ἐν τοῖς μνήμασιν καὶ ἐν τοῖς ὄρεσιν ἦν

---

*36 αλλα :* T+ *δε* | T *ησαν* *38* T *κ. ην αυτος* *40* T *εστε ουτως; πως ουκ εχ.* *41* T *αυτω υπακουει;* **5**,*2* H [*ευθυς*]

---

*33 — πολλαις* *36 πλοιαρια* *38 επι προσκεφαλαιου* **5**,*1 Γαδαρηνων et Γεργεσηνων*

6 κράζων καὶ κατακόπτων ἑαυτὸν λίθοις. καὶ ἰδὼν
τὸν Ἰησοῦν ἀπὸ μακρόθεν ἔδραμεν καὶ προσεκύ-
1,24. 7 νησεν αὐτῷ, καὶ κράξας φωνῇ μεγάλῃ λέγει· τί
ἐμοὶ καὶ σοί, Ἰησοῦ υἱὲ τοῦ θεοῦ τοῦ ὑψίστου;
8 ὁρκίζω σε τὸν θεόν, μή με βασανίσῃς. ἔλεγεν γὰρ
αὐτῷ· ἔξελθε τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐκ τοῦ
9 ἀνθρώπου. καὶ ἐπηρώτα αὐτόν· τί ὄνομά σοι;
καὶ λέγει αὐτῷ· λεγιὼν ὄνομά μοι, ὅτι πολλοί
10 ἐσμεν. καὶ παρεκάλει αὐτὸν πολλὰ ἵνα μὴ αὐτὰ
11 ἀποστείλῃ ἔξω τῆς χώρας. ἦν δὲ ἐκεῖ πρὸς τῷ
12 ὄρει ἀγέλη χοίρων μεγάλη βοσκομένη· καὶ παρε-
κάλεσαν αὐτὸν λέγοντες· πέμψον ἡμᾶς εἰς τοὺς
13 χοίρους, ἵνα εἰς αὐτοὺς εἰσέλθωμεν. καὶ ἐπέτρεψεν
αὐτοῖς. καὶ ἐξελθόντα τὰ πνεύματα τὰ ἀκάθαρτα
εἰσῆλθον εἰς τοὺς χοίρους, καὶ ὥρμησεν ἡ ἀγέλη
κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν, ὡς δισχίλιοι,
14 καὶ ἐπνίγοντο ἐν τῇ θαλάσσῃ. καὶ οἱ βόσκοντες
αὐτοὺς ἔφυγον καὶ ἀπήγγειλαν εἰς τὴν πόλιν καὶ
εἰς τοὺς ἀγρούς· καὶ ἦλθον ἰδεῖν τί ἐστιν τὸ γεγονός.
15 καὶ ἔρχονται πρὸς τὸν Ἰησοῦν, καὶ θεωροῦσιν τὸν
δαιμονιζόμενον καθήμενον ἱματισμένον καὶ σωφρο-
νοῦντα, τὸν ἐσχηκότα τὸν λεγιῶνα, καὶ ἐφοβήθησαν.
16 καὶ διηγήσαντο αὐτοῖς οἱ ἰδόντες πῶς ἐγένετο τῷ
17 δαιμονιζομένῳ καὶ περὶ τῶν χοίρων. καὶ ἤρξαντο
παρακαλεῖν αὐτὸν ἀπελθεῖν ἀπὸ τῶν ὁρίων αὐτῶν.
18 καὶ ἐμβαίνοντος αὐτοῦ εἰς τὸ πλοῖον παρεκάλει
19 αὐτὸν ὁ δαιμονισθεὶς ἵνα μετ᾽ αὐτοῦ ᾖ. καὶ οὐκ
ἀφῆκεν αὐτόν, ἀλλὰ λέγει αὐτῷ· ὕπαγε εἰς τὸν
οἶκόν σου πρὸς τοὺς σούς, καὶ ἀπάγγειλον αὐτοῖς
7,31. 20 ὅσα ὁ κύριός σοι πεποίηκεν καὶ ἠλέησέν σε. καὶ
ἀπῆλθεν καὶ ἤρξατο κηρύσσειν ἐν τῇ Δεκαπόλει
ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς, καὶ πάντες ἐθαύμαζον.

---

*6 αυτω* : H *αυτον*   *9 μοι* : h+ *εστιν*

---

*13 και ευθεως κυριος Ιησους επεμψεν αυτους εις τους χοιρους*   *17 παρεκαλουν*   *18 ηρξατο παρακαλειν*

This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/